γῆρας χαυνοῖ καὶ μαραίνει οὐ τῷ τὴν ψυχὴν αὐτὴν πάσχειν, ἢ τὴν αἰσθητικὴν δύναμιν, ἀλλὰ τὸ ἐν ᾧ ἐστιν, ὥσπερ ἐν ταῖς νόσοις καὶ ταῖς μέθαις οὐ χαυνοῦται ἢ ἀλλοιοῦται ἡ ψυχή, ἀλλὰ τὸ σῶμα. Οὕτω τοίνυν καὶ τὸ νοεῖν, τουτέστιν ἡ ἁπλῆ κατάληψις, καὶ τὸ θεωρεῖν, τουτέστιν ἡ τοῦ νοῦ ἐνέργεια, ἥτις ἐστὶν ἐν τῷ συντιθέναι καὶ διαιρεῖν, μαραίνονται οὐ τοῦ νοῦ διαφθειρομένου καὶ πάσχοντος, ἀλλὰ φθειρομένου τινὸς ἄλλου ἔσω, ὅπερ ἐστὶν ὄργανον τοῦ νοῦ· αὐτὸ δὲ τὸ νοεῖν ἐστιν ἀπαθές. Τοῦτο δέ φησιν Ἀριστοτέλης, οὐχ ὅτι ταύτης γέγονε τῆς δόξης ὥστε πιστεύειν τὸν νοῦν ἔχειν ὄργανον ὡρισμένον σωματικόν, ἀλλ' ὡς εἴρηται, οὗτος ἐνταῦθα διαλέγεται ὑποτιθεὶς τὰς δόξας ἐκείνων τῶν φιλοσόφων, οἵτινες δηλονότι, ὡς εἴρηται, ἦσαν ἐκείνης τῆς δόξης, ὅτι πᾶσαι ἐνέργειαι τῆς ψυχῆς καὶ αὐτὸς ὁ νοῦς ἔχουσι ὄργανα διωρισμένα, καὶ διὰ τοῦτο κατὰ τὴν τοιαύτην ὑπόθεσιν ἀποδίδωσι τὴν αἰτίαν τοῦ μαραίνεσθαι τὸν νοῦν· διότι, φησίν, αἱ τοιαῦται ἐνέργειαι, τὸ διανοεῖσθαι δηλονότι, καὶ φιλεῖν καὶ μισεῖν οὐκ εἰσὶν ἐκείνου πάθη, δηλονότι τῆς ψυχῆς, ἀλλὰ τοῦ συνημμένου εἴτουν τοῦ ὀργάνου, τοῦ σωματικοῦ ὀργάνου λέγω, τοῦ ἔχοντος ἐκεῖνο, δηλονότι τὸ νοεῖν καὶ τὰ τοιαῦτα, καθὸ ἐκεῖνο ἔχει. Ὅθεν καὶ τούτου φθειρομένου,
f. 285 | δηλονότι τοῦ διωρισμένου ὀργάνου ταύτης τῆς τοῦ φιλεῖν ἢ νοεῖν ἐνεργείας, οὔτε μνημονεύει, οὔτε φιλεῖ, ἡ ψυχὴ δηλονότι· Οὐ λόγος ἐστίν, ὅτι τὰ τοιαῦτα πάθη οὐκ ἦσαν τῆς ψυχῆς μόνον, ἀλλὰ τοῦ κοινοῦ, δηλονότι τοῦ συναμφοτέρου, ὅπερ ἤδη ἀπόλωλε καὶ διέφθαρται. Εἰ τοίνυν πᾶσαι αἱ τοιαῦται κινήσεις καὶ ἐνέργειαι χαυνοῦνται καὶ μαραίνονται οὐ διὰ τὴν ψυχὴν ἀλλὰ διὰ τὴν ἀσθένειαν τοῦ σώματος εἴτουν τοῦ ὀργάνου, ὡς εἴρηται, φανερὸν ὅτι οὐκ εἰσὶ τῆς ψυχῆς μόνον, ἀλλὰ τοῦ συναμφοτέρου, καὶ ἀκολούθως ὅτι ἡ ψυχὴ οὐ κινεῖται, ἀλλὰ τὸ συνημμένον, εἰ καὶ παρὰ τῆς ψυχῆς.

Ὁ δὲ νοῦς ἴσως. Διότι ἐνταῦθα διελέχθη περὶ τοῦ νοῦ, ὑποθέμενος τὰς τῶν ἄλλων δόξας, ὡς εἴρηται, ἵνα μὴ πιστευθῇ δοξάζειν τὸν νοῦν οὕτως ἔχειν ὡς ὑπέθετο, διὰ τοῦτο ἐνταῦθα τοῦτο ἀποσκευάζεται λέγων, ὅτι ἴσως ὁ νοῦς ἐστὶ θεῖόν τι καὶ ἀπαθές, τουτέστιν ὑψηλότερόν τι καὶ μείζων τις δύναμις, ἀκολούθως δὲ καὶ ἡ ἐνέργεια αὐτῆς τῆς ψυχῆς μείζων καὶ ὑψηλοτέρα παρὸ ἐνταῦθα ἐλέγετο. Καὶ εἶπεν· ἴσως, διότι οὔπω διωρίσατο τοῦτο, ἀλλὰ μετὰ ταῦτα ἐν τῷ τρίτῳ δείξει· ὅθεν καθ' ὑπόθεσιν διαλέγεται.

Ὅτι μὲν οὖν οὐχ οἷόν τε κινεῖσθαι τὴν ψυχήν. Ἐνταῦθα ἑπομένως συμπεραίνει ἐκ πάντων λέγων, ὅτι φανερόν ἐστιν ἐκ τῶν εἰρημένων, ὡς ἄρα οὐ δυνατὸν τὴν ψυχὴν κινεῖσθαι. Εἰ δὲ μὴ κινεῖται

---

11 *αἱ* après *πᾶσι* add B   12 *τινὰ* après *ὄργανα* add B   19 *φιλεῖ* corrigé de *νοεῖ* B

ΙΩΑΝΝΙΝΑ 2006

τρόπῳ τινί, φανερὸν ὅτι οὐ κινεῖται ὑφ' ἑαυτῆς τοιαύταις κινήσεσιν, ὡς αὐτοὶ ἐτίθεσαν.

## Leçon XI.

Πολὺ δὲ τῶν εἰρημένων. Ἀποδοκιμάσας ὁ Φιλόσοφος τὴν δόξαν τῶν εἰπόντων τὴν ψυχὴν ἁπλῶς κινεῖσθαι, ἐνταῦθα ἑπομένως ἐλέγχει τὴν δόξαν τοῦ Ξενοκράτους, ὃς τῷ λόγῳ τῷ περὶ τοῦ κινεῖσθαι τὴν ψυχὴν καὶ ἄλλο τι προσέθηκε, δηλονότι τὸ τὴν ψυχὴν εἶναι ἀριθμὸν κινοῦντα ἑαυτόν. Καὶ αὕτη ἡ δόξα ἐστὶν ἀλογωτέρα τῶν δοξῶν τῶν ἄλλων φιλοσόφων, αἳ προερρήθησαν. Τοῖς γὰρ λέγουσι τὴν ψυχὴν εἶναι ἀριθμὸν κινοῦντα ἑαυτὸν πολλὰ ἀδύνατα ἐνυπάρχουσι. Καὶ πρῶτον μὲν τὰ συμβαίνοντα ἐξ αὐτοῦ τοῦ κινεῖσθαι ἤγουν ἐκ τῆς κινήσεως, ἃ καὶ πᾶσι συμβαίνουσι τοῖς λέγουσι τὴν ψυχὴν κινεῖσθαι, συμβαίνουσι δὲ τοῖς οὕτω λέγουσι καὶ ἴδια ἄτοπα ἐκ τοῦ λέγειν τὴν ψυχὴν εἶναι ἀριθμόν. Διὰ τοῦτο ὁ Φιλόσοφος ἀποδοκιμάζει τὸν ὁρισμὸν τοῦτον τοῦ Ξενοκράτους περὶ ψυχῆς, καὶ οὐ μόνον διαλεγόμενος πρὸς τὸ ὄνομα ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν σκοπὸν τοῦ ὁριζομένου. Περὶ τοῦτο δὲ δύο ποιεῖ· πρῶτον μὲν γὰρ δείκνυσι τοῦτον τὸν ὁρισμὸν εἶναι ἄτοπον ὅσον πρὸς αὐτὴν τὴν οὐσίαν τῆς ψυχῆς· δεύτερον δὲ ὅσον πρὸς τὰ συμβεβηκότα αὐτῇ, ἐν τῷ· Τοῖς δὴ συμπλέξασιν εἰς τὸ αὐτό.

Περὶ τὸ πρῶτον πάλιν δύο ποιεῖ· πρῶτον γὰρ ἀναιρεῖ τὸν προειρημένον ὁρισμὸν τῆς ψυχῆς διὰ λόγων· δεύτερον, δείκνυσιν, ὅτι ὅσον πρὸς τοῦτον τὸν ὁρισμὸν ἀκολουθοῦσι πάντα τὰ ἄτοπα τὰ ἑπόμενα ταῖς δόξαις τῶν ἄλλων φιλοσόφων, ἐν τῷ· Συμβαίνει δέ, ὡς εἴπομεν. Ὅτι δὲ ὁ προειρημένος ὁρισμὸς ἐστὶν ἀνάρμοστος, δείκνυσιν ἓξ λόγοις, ὧν ὁ πρῶτος τοιοῦτος ἐστίν. Σὺ λέγεις τὴν ψυχὴν εἶναι ἀριθμὸν κινοῦντα ἑαυτόν· ὁ δὲ ἀριθμὸς συνέστηκεν ἐκ μονάδων· οὐκοῦν λέγεις τὴν ψυχὴν εἶναι μονάδας· ἀλλὰ σὺ λέγεις τὴν ψυχὴν εἶναι ἀριθμὸν κινοῦντα ἑαυτόν· οὐκοῦν καὶ ἡ ψυχὴ ἐστὶ μονάδες κινοῦσαι ἑαυτάς· ἀλλὰ πᾶν κινοῦν ἑαυτό, ἔχει δύο μέρη, ὡς δείκνυται ἐν τῷ ὀγδόῳ τῶν φυσικῶν, ὧν θάτερον μέν ἐστι κινοῦν, κινούμενον δὲ τὸ λοιπόν· τοῦτο δέ ἐστιν ἀδύνατον· ἀδύνατον ἄρα τὴν ψυχὴν ἀριθμὸν εἶναι κινοῦντα ἑαυτόν. Ὅτι δέ ἐστιν ἀδύνατον τὴν μονάδα ἔχειν ἓν μέρος κινοῦν καὶ ἄλλο κινούμενον, δείκνυσι διότι οὐδενὶ τρόπῳ τὸ πάντη ἀμέριστον καὶ ἀδιάφορον δύναται νοεῖσθαι, ὅτι κινεῖται καθαυτὸ οὕτως ὥστε ἔχειν ἓν μέρος κινοῦν καὶ ἄλλο μέρος κινούμενον· ἐν οὐδενὶ γὰρ δύνανται ταῦτα τὰ δύο, δηλονότι τὸ κινητικὸν καὶ τὸ κινητόν, εἶναι, ἂν μὴ διαφέρωσιν. Ἐπεὶ τοίνυν ἡ μονὰς ἐστὶν ἀμέριστος καὶ ἀδιάφορος, οὐ δύναται τοιαῦτα μέρη ἔχειν, καὶ οὕτως οὐδὲ κινεῖσθαι. Ἡ ψυχὴ ἄρα οὐκ ἔστιν ἀριθμὸς κινῶν ἑαυτόν.

---

1 *τοιαύταις κινήσεσιν* om B   34 *μέρος* après *ἄλλο* om B   36 *ἂν*: *εἰ* B

Ε.Υ.Σ. Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι δὲ ἐπεὶ φασίν. Ἐνταῦθα τίθησι τὸν δεύτερον λόγον, τοιοῦτον ὄντα· σὺ λέγεις τὴν ψυχὴν εἶναι ἀριθμόν· οὐκοῦν καὶ μονάδας, ὡς εἴρηται· μονάδος δὲ καὶ σημείου οὐδεμία διαφορὰ ἐστὶν εἰ μὴ ὅτι τὸ σημεῖον ἔχει θέσιν. Ἔστι δὲ ἡ στιγμὴ μονὰς θέσιν ἔχουσα. Ἀλλ' εἴπερ ἡ ψυχὴ ἐστὶν f. 285v ἀριθμός, δεῖ εἶναι ποῦ τὸν τοιοῦτον ἀριθμὸν τῆς ψυχῆς | καὶ θέσιν ἔχοντα· οὐκοῦν ἡ ψυχὴ ἔσται μονάδες θέσιν ἔχουσαι· αἱ τοιαῦται δὲ μονάδες εἰσὶ στιγμαί· ἡ ψυχὴ ἄρα ἔσται στιγμαί. Ἀλλὰ φασὶν οἱ Πλατωνικοί, ὅτι ἡ κίνησις τοῦ σημείου εἴτουν τῆς στιγμῆς ποιεῖ γραμμήν· ἡ δὲ γραμμὴ κινηθεῖσα ποιεῖ ἐπιφάνειαν· ἡ δὲ ἐπιφάνεια σῶμα· ἀλλ' ἡ ψυχὴ ἐστὶν ἀριθμὸς κινῶν ἑαυτόν· οὐκοῦν οὕτως καὶ μονάς, καὶ ἀκολούθως στιγμὴ κινοῦσα ἑαυτήν· ἡ δὲ στιγμὴ κινηθεῖσα οὐ ποιεῖ εἰ μὴ γραμμήν· καὶ ἡ τῆς ψυχῆς ἄρα κίνησις οὐ ποιεῖ εἰ μὴ γραμμήν· καὶ οὕτως ἡ ψυχὴ τῇ ἰδίᾳ κινήσει οὐκ αἰτία γίνεται ζωῆς, ἀλλὰ γραμμῆς, ὃ ψεῦδος ἐστίν. Οὐκ ἄρα ἡ ψυχὴ ἀριθμός ἐστι κινῶν ἑαυτόν.

Ἔτι δὲ ἀριθμοῦ μέν. Ἐνταῦθα τίθησι τὸν τρίτον λόγον ὄντα τοιοῦτον· εἰ ἡ ψυχὴ ἐστὶν ἀριθμός, ὡς σὺ λέγεις, δεῖ ταύτην ἔχειν τὰ πάθη καὶ τὴν φύσιν τοῦ ἀριθμοῦ· ἀλλὰ φανερόν ἐστιν, ὅτι ἂν ἀφέλῃ τις τοῦ ἀριθμοῦ μονάδα τινά, ἢ προσθῇ, μεταβάλλει τὸ εἶδος· τῷ γὰρ τρία ἀριθμῷ ἂν προσθῇς μονάδα, μετέβαλες τὸ εἶδος· ἄλλο γάρ ἐστι τὸ εἶδος τοῦ τρία ἀριθμοῦ, καὶ ἄλλο τοῦ τέσσαρα· ἂν δὲ ἀφέλῃς ἀπὸ τοῦ αὐτοῦ μονάδα, λείπονται δύο, καὶ μετεβλήθη ὁμοίως τὸ εἶδος. Δῆλον δὲ ὅτι τὰ ζῷα λαμβάνουσι τὸ εἶδος παρὰ τῆς ψυχῆς, ἐπεὶ ἕκαστον τυγχάνει τοῦ εἴδους διὰ τῆς ἰδίας μορφῆς, ταὐτὸν δὲ εἰπεῖν τοῦ φυσικοῦ εἴδους. Εἰ τοίνυν ἡ ψυχή ἐστιν ἀριθμός, ἐκ τῆς ἀφαιρέσεως ἢ τῆς προσθέσεως [τινὸς ἀπὸ τῆς ψυχῆς, ἀπολείπεται] ἄλλη τῷ εἴδει ψυχή. Ἀλλὰ τοῦτό ἐστι ψεῦδος· ὁρῶμεν γὰρ ἐν τῇ ἀποτομῇ τῶν φυτῶν καὶ τῶν ζῴων τῶν ἐντόμων, ὅτι διαιρεθέντα εἴτουν ἀποτμηθέντα ζῶσι καὶ τὸ αὐτὸ εἶδος ἔχουσιν. Οὐκ ἄρα ἀριθμός ἐστιν ἡ ψυχή.

Δόξειε δ' ἂν οὐδέν. Ἐνταῦθα τίθησι τὸν τέταρτον λόγον, τοιοῦτον ὄντα· σὺ λέγεις τὴν ψυχὴν εἶναι ἀριθμόν, καί, ὡς εἴρηται, ἕπεται τούτῳ τὸ τὴν ψυχὴν εἶναι μονάδας θέσιν ἐχούσας, καὶ ἀκολούθως εἶναι αὐτὴν στιγμάς. Κατὰ τοῦτο δέ, ἂν ὀρθῶς θεωρῶμεν, δόξειεν ἂν μηδὲν διαφέρειν λέγειν τὴν ψυχὴν εἶναι σωμάτια μικρὰ καὶ ἀδιαίρετα, ὡς εἶπεν ὁ Δημόκριτος, ἢ λέγειν εἶναι αὐτὴν μονάδας θέσιν ἐχούσας· τὸ γὰρ ἓν τὸ θέσιν ἔχον, ποσότης καὶ ἀδιαίρετος. Ἐκ τούτου τοίνυν οὕτως ἐπιχειρῶ· ἡ ψυχή, κατὰ τὴν σὴν θέσιν, ἀριθμός ἐστι κινῶν ἑαυτόν, καὶ ἀκολούθως μονάδες καὶ στιγμαὶ κινοῦσαι ἑαυτάς. Θῶμεν τοίνυν, ὅτι τὰ ἀδιαίρετα σώματα,

---

7 ἔσται: ἔστι B   24 τοῦ εἴδους add B après προσθέσεως   24-25 Espace laissé en blanc AB. Nous suppléons d'après le texte latin

Ε. ΓΚΑ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἅτινα ἐτίθει ὁ Δημόκριτος, εἰσὶ στιγμαί, διότι οὐδὲν διαφέρει, ὡς εἴρηται, καὶ ὅτι εἰσὶ ποσαί, ὅπερ ἀναγκαῖον ἐστί, διότι κυρίως οὐ κινεῖται εἰ μὴ τὸ ποσόν, αἱ δὲ τοιαῦται στιγμαὶ κινοῦσιν ἑαυτάς, διότι ἡ ψυχή ἐστιν ἀριθμὸς ἑαυτὸν κινῶν· ἀλλ' ἐν τῷ κινοῦντι ἑαυτό, ὡς εἴρηται, εἰσὶ δύο· ἔσται τοίνυν ἐν αὐτῇ τῇ στιγμῇ ἓν τὸ κινοῦν καὶ ἄλλο τὸ κινούμενον. Οὐ δεῖ δὲ φροντίζειν πότερον εἰσὶ μεγάλα, ἢ μικρὰ μόνον, ἂν ὦσι ποσά, διότι ἐν παντὶ συνεχεῖ κινοῦντι ἑαυτὸ τοῦτο συμβαίνει, δηλονότι εἶναι ἐκεῖ δύο, ἓν ὡς κινοῦν, καὶ ἄλλο ὡς κινούμενον· καὶ οὕτως ἀνάγκη ἐστὶν εἶναί τι κινητικὸν τῶν μονάδων· ἐν δὲ τῷ ζῴῳ τὸ κινοῦν τὸ ζῷον ἐστὶν ἡ ψυχή· καὶ ἐν τῷ ἀριθμῷ τοίνυν τὸ κινοῦν τὸν ἀριθμὸν ἔσται ψυχή. Οὐκοῦν ἡ ψυχὴ οὐκ ἔστι τὸ κινούμενον, ἀλλὰ τὸ κινοῦν· καὶ οὕτως οὐκ ἔστιν εὖ ἔχων ὁ τῆς ψυχῆς ὁρισμός, ὅτι ἔστιν ἀριθμὸς κινῶν ἑαυτόν, ἀλλὰ μᾶλλον ὅτι ἔστι τὸ κινοῦν τὸν κινούμενον ἀριθμόν.

Ἐνδέχεται δέ πως. Ἐνταῦθα τίθησι τὸν πέμπτον λόγον, ὄντα τοιοῦτον· κατὰ τὴν δόξαν τοῦ Ξενοκράτους ἐνδέχεται ταύτην, δηλονότι τὴν ψυχήν, εἶναι μονάδας· ἀλλ' ἐκ τούτου συμβαίνει αὐτὴν εἶναι στιγμάς, διότι, εἴπερ ἡ ψυχὴ ἐστὶ μονάς, δεῖ διαφέρειν αὐτὴν τῶν ἄλλων μονάδων· οὐ δύναται δὲ διαφέρειν αὐτῶν εἰ μὴ κατὰ τὴν θέσιν. Τίς γὰρ διαφορὰ σημείου μοναδικοῦ, τουτέστι μονάδος, εἰ μὴ θέσις; Οὐδεμία μονὰς δὲ θέσιν ἔχουσα ἐστὶ στιγμή. Ἡ ψυχὴ ἄρα οὐκ ἔστι μονάδες, ἀλλὰ στιγμαί. Ἀλλ' ἡ ψυχὴ ἐστὶν ἐν τῷ σώματι, καὶ πᾶν σῶμα ἔχει τὰς ἑαυτοῦ στιγμὰς καθαυτό. Ζητῶ τοίνυν πότερον αἱ στιγμαί, αἵτινες εἰσὶν ἡ ψυχή, εἰσὶν αἱ αὐταὶ ταῖς στιγμαῖς τοῦ σώματος, ἢ ἄλλαι. Εἰ μὲν οὖν ἄλλαι, ἐπειδὴ ἐν παντὶ μέρει τοῦ σώματος ἐστὶν ἡ ψυχή, καὶ ἐν παντὶ μέρει τοῦ σώματος εἰσὶν αἱ | στιγμαὶ τῆς ψυχῆς, καὶ οὕτω δύο στιγμαὶ ἐν τῷ αὐτῷ τόπῳ f. 286
ἔσονται ἅμα· καὶ εἰ δύο, διὰ τί μὴ πλείω, ἢ καὶ ἄπειρα; Ὧν γὰρ ὁ τόπος ἐστὶν ἀδιαίρετος, καὶ αὐτὰ ἀδιαίρετά εἰσιν· ὅθεν οὐ χρῄζουσι πλατυτέρου τόπου. Ὅθεν, ἂν τεθῶσι δύο εἶναι ἐν τόπῳ ἀδιαιρέτῳ, ἑπομένως δύνανται ἐν τῷ αὐτῷ τόπῳ εἶναι ἄπειρα. Εἰ δὲ εἴποις, ὅτι αἱ αὐταὶ στιγμαὶ εἰσίν, αἱ ἐν τῷ σώματι, ταῖς ἐν τῇ ψυχῇ, ἀκολουθεῖ ὅτι, ἐπεὶ πᾶν σῶμα ἔχει στιγμάς, καὶ πᾶν σῶμα ἔχει ψυχήν. Ἀλλὰ τοῦτο ψεῦδος ἐστίν. Οὐκ ἄρα ἀριθμός ἐστιν ἡ ψυχή.

Ἔτι δὲ πῶς οἷόν τε. Ἐνταῦθα ἑπομένως τίθησι τὸν ἕκτον λόγον, ὄντα τοιοῦτον καὶ λαμβανόμενον ἐκ τοῦ πρὸ αὐτοῦ. Φησὶ γὰρ ὅτι, ὡς εἴρηται, ἀκολουθεῖ ἐκ τῆς θέσεως τοῦ Ξενοκράτους, τὴν ψυχὴν εἶναι στιγμάς. Ἀλλ' ἡμεῖς ὁρῶμεν, ὅτι αἱ στιγμαὶ οὐ χωρίζονται καὶ ἀπολύονται τῶν σωμάτων· αἱ γὰρ γραμμαὶ οὐ διαιροῦνται τῶν ἐπιφανειῶν, οὐδὲ αἱ

---

2 *εἰ μὴ* om A  11 *οὐκ ἔσται* B  33 Par distraction B porte la 6e raison avant la 5e.

Ε.Υ. Ζ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

στιγμαὶ τῶν γραμμῶν· ἡ δὲ ψυχὴ χωρίζεται καὶ ἀπολύεται τοῦ σώματος. Οὐκ ἄρα ἐστὶ στιγμαὶ οὐδὲ ἀριθμός. Φαίνεται τοίνυν, ὅτι ὁ τοῦ Ξενοκράτους περὶ ψυχῆς ὁρισμός ἐστιν ἀνάρμοστος, ὅσον πρὸς τὰ ἐν τῷ ὁρισμῷ τιθέμενα.

Συμβαίνει δὲ καθάπερ. Ἐνταῦθα ἑπομένως δείκνυσι τὸν ὁρισμὸν εἶναι ἀνάρμοστόν, ὅσον πρὸς τὰ ἄτοπα. Ἐκ γὰρ τούτου τοῦ ὁρισμοῦ ἀκολουθοῦσι πάντα τὰ ἄτοπα, ἅπερ ἕπονται ἐκ τῶν δοξῶν πάντων τῶν φιλοσόφων περὶ ψυχῆς. Τινὲς γὰρ πεπλάνηνται περὶ τὴν ψυχήν, καὶ εἶπον αὐτὴν εἶναι σῶμα λεπτομερές, ἐξ οὗ εἵπετο, ὅτι δύο σώματα εἰσὶν ἅμα διὰ τὸ τὴν ψυχὴν πανταχοῦ εἶναι τοῦ σώματος. Ταὐτὸ τοίνυν ἀκολουθεῖ καὶ τοῖς λέγουσι τὴν ψυχὴν εἶναι στιγμάς, δηλονότι τὸ δύο εἶναι ἅμα καὶ ἔτι ἀπείρους· καὶ τοῦτο μέν, ἂν αἱ στιγμαὶ τῆς ψυχῆς ὦσιν ἄλλαι παρὰ τὰς στιγμὰς τοῦ σώματος. Εἰ δὲ μὴ γένοιτο διαφέρων ὁ ἀριθμὸς τῶν στιγμῶν τῆς ψυχῆς, τουτέστιν ἂν μὴ διαφέρωσιν αἱ στιγμαὶ τῆς ψυχῆς τῶν στιγμῶν τοῦ σώματος, ἕπεται ἐν παντὶ σώματι εἶναι ψυχήν· ἐν παντὶ γὰρ σώματι εὑρεῖν ἔστι στιγμάς. Ἐπλανήθησαν δέ τινες, ὥσπερ ὁ Δημόκριτος. Ἔλεγε γὰρ τὴν ψυχήν τε κινεῖσθαι καὶ τὸ σῶμα ἐκ τῆς κινήσεως τῆς ψυχῆς· καὶ ἐπεὶ ἔλεγε τὴν ψυχὴν ἐκ τῶν ἀδιαιρέτων συντεθεῖσθαι σφαιρῶν καὶ ἐκ τῆς κινήσεως αὐτῶν κινεῖσθαι τὸ σῶμα, εἵπετο κινεῖσθαι τὸ σῶμα ἐκ τῶν ἀδιαιρέτων σωμάτων. Τὸ αὐτὸ γοῦν ἄτοπον ἕπεται καὶ ἐκ τοῦ ὁρισμοῦ τούτων, δηλονότι τὸ κινεῖσθαι τὸ ζῷον ἐκ τοῦ ἀριθμοῦ, καὶ ἑπομένως ἐκ τῶν στιγμῶν. Καὶ οὐ διαφέρει λέγειν σφαίρας μικρὰς ἢ μονάδας μεγίστας, ἢ ὁποιασοῦν μονάδας κινεῖσθαι· ἀμφοτέρως γάρ, τουτέστιν ἐν τοῖς σφαιρικοῖς σώμασι καὶ ἐν ταῖς μονάσιν, ἀνάγκη ἐστὶ τὸ ζῷον κινεῖσθαι ἐκ τοῦ ταῦτα, δηλονότι τὰ σφαιρικὰ σώματα καὶ τὰς στιγμὰς εἴτουν τὰς μονάδας, κινεῖσθαι.

Τοῖς δὴ συμπλέξασιν εἰς ταὐτὸ κίνησιν καὶ ἀριθμόν. Ἐνταῦθα ἑπομένως δείκνυσι τὴν ἀναρμοστίαν καὶ τὴν ἔνδειαν τοῦ προειρημένου ὁρισμοῦ ἐκ τοῦ μέρους τῶν συμβεβηκότων. Φησὶ τοίνυν ὅτι, ὁπόταν ὁρισμός τις ἀποδιδῶται ἱκανῶς, οὐ μόνον ἄγειν ὀφείλει πρὸς τὴν γνῶσιν τοῦ ὁριζομένου πράγματος, ἀλλ' ἔτι καὶ πρὸς τὴν τῶν συμβεβηκότων. Ἀλλ' ἐὰν συμπλέξωμεν εἰς ἓν τὰ δύο ταῦτα τὰ κείμενα ἐν τῷ ὁρισμῷ τῆς ψυχῆς, δηλονότι τὸν ἀριθμὸν καὶ τὴν κίνησιν, οὐ μόνον συμβαίνουσιν ἡμῖν ἄτοπα τὰ εἰρημένα περὶ τὴν οὐσίαν αὐτῆς τῆς ψυχῆς, ἀλλ' ἔτι καὶ πολλὰ ἄλλα, διότι ταῦτα τὰ δύο οὐ μόνον ἐστὶν ἀδύνατον

---

**15 Dans la marge droite le diagramme suivant dans A (om B)**

*ἐν ὅλῳ τῷ σώματι* *αἴσθησις* *ψυχὴ*

**23** *μεγάλας* **B**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἶναι ὁρισμόν, τουτέστιν οὐσίαν τῆς ψυχῆς, ἀλλ' ἔτι καὶ ἀδύνατον ἐστὶ ταῦτα εἶναι συμβεβηκότα τῇ ψυχῇ ἤγουν ἄγειν πρὸς τὴν γνῶσιν τῶν συμβεβηκότων αὐτῇ. Οὐκ ἄρα ἁρμόδιος ἐστὶν ὁ ὁρισμός. Καὶ ὅτι οὐκ ἄγουσιν εἰς τὴν γνῶσιν τῶν συμβεβηκότων τῇ ψυχῇ, φανερὸν ἐστίν, εἴ τις ἐκ τοῦ τοιούτου ὁρισμοῦ πειρῷτο τὰ πάθη καὶ τὰ ἔργα τῆς ψυχῆς ἀποδιδόναι, οἷον λογισμούς, ἡδονάς, λύπας καὶ τὰ τοιαῦτα· ἐξ αὐτῶν γάρ, δηλονότι ἐκ τοῦ ἀριθμοῦ καὶ τῆς κινήσεως, οὐ μόνον οὐκ ἔσται ῥᾴδιον εἰς γνῶσιν ἐλθεῖν τῶν συμβεβηκότων καὶ τῶν ἐνεργειῶν τῆς ψυχῆς, ἀλλ' οὐδὲ μαντεύσασθαί τι δυνησόμεθα ἐξ αὐτῶν περὶ τῶν παθῶν καὶ τῶν ἐνεργειῶν αὐτῆς.

## Leçon XII.

Τριῶν δὲ τρόπων. Ὁ Φιλόσοφος ἔδειξεν ἀνωτέρω, ὅπως οἱ ἀρχαῖοι φυσικοὶ φιλόσοφοι εἰς τὴν γνῶσιν ἀφίκοντο τῆς ψυχῆς διὰ τριῶν, δηλονότι διὰ τῆς κινήσεως, διὰ τῆς γνώσεως, καὶ διὰ τοῦ εἶναι ἀσωματώτατον, καὶ διελέχθη κατ' ἐκείνων, οἵτινες ἦλθον εἰς τὴν γνῶσιν τῆς ψυχῆς διὰ τῆς κινήσεως, καὶ κατ' ἐκείνων, οἵτινες εἶπον αὐτὴν εἶναι ἀσωματώτατόν τι. Ἐνταῦθα ἑπομένως διαλέγεται κατ' ἐκείνων, οἵτινες εἶπον τὴν ψυχὴν πάντα γινώσκειν διὰ τὸ συντεθεῖσθαι ἐκ πάντων, ὧν θέσις ἦν, ὅτι ἡ ψυχὴ γινώσκει πάντα τὰ πράγματα, καὶ διότι ἡ γνῶσις γίνεται δι' ὁμοιότητος, ὥσπερ τοῦτο πορρώθεν μαντευόμενοι ἔλεγον πρὸς τὸ πάντα γινώσκειν συντεθειμένην εἶναι ἐκ πάντων, καὶ ὅτι ἡ ὁμοιότης πάντων τῶν πραγμάτων ἔστιν ἐν τῇ ψυχῇ κατὰ τὸν ἴδιον τῆς ὑπάρξεως τρόπον. Ὅθεν, ἐπεὶ τὰ ὄντα συνέστηκεν ἐκ στοιχείων, ἔλεγον καὶ τὴν ψυχὴν συντεθεῖσθαι ἐκ τῶν στοιχείων πάντων, ὡς ἂν αἰσθάνηται καὶ γινώσκῃ πάντα τὰ ὄντα. Καὶ διότι ἀρχοειδὴς ἐν ταύτῃ τῇ θέσει γέγονεν Ἐμπεδοκλῆς, ὃς ἐτίθει τὴν ψυχὴν συντεθεῖσθαι ἐκ πλειόνων στοιχείων ἤπερ οἱ ἄλλοι, διὰ τοῦτο ὁ Φιλόσοφος ἐνταῦθα ἀρχοειδῶς ἀποδοκιμάζει τὴν αὐτοῦ δόξαν καὶ διαλέγεται κατ' αὐτῆς. Καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον γὰρ ἀποδοκιμάζει τὴν δόξαν Ἐμπεδοκλέους· δεύτερον, ἄλλην τινὰ δόξαν ἐν τῷ· Ἐν τῷ ὅλῳ δέ τινες. Ἀναιρεῖ δὲ τὴν δόξαν Ἐμπεδοκλέους δέκα λόγοις, ὧν ὁ πρῶτος τοιοῦτος ἐστίν. Ὁ Ἐμπεδοκλῆς φησίν, ὅτι ἡ γνῶσις γίνεται δι' ὁμοιότητος, καὶ ἐπεὶ ἡ ψυχὴ γινώσκει πάντα, δεῖ τὴν ψυχὴν συντεθεῖσθαι ἐκ πάντων. Ἀλλὰ φαίνεται, ὅτι τούτῳ τῷ λόγῳ ἀναγκαῖον ἐστὶ πλεῖστα ἄτοπα καὶ ἀδύνατα ἕπεσθαι· φανερὸν γάρ, ὅτι ἐν ἑκάστῳ πράγματι οὐκ εἰσὶ ταῦτα μόνον, δηλονότι τὰ στοιχεῖα, ἀλλὰ καὶ πολλὰ ἄλλα παρὰ τὰ στοιχεῖα, ὥσπερ ἐστὶν ἡ ἀναλογία τῆς συνθέσεως, καὶ ὁ ἑκάστου λόγος, καὶ ἴσως εἰσὶν ἄπειρα τῷ ἀριθμῷ τὰ συμβαίνοντα τοῖς ἐκ τούτων, f. 286ᵛ

24 καὶ om B



Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δηλονότι τῶν στοιχείων, συνθέτοις πράγμασιν, ὡς φαίνεται ἐπὶ τοῦ ὀστοῦ· οὐ γὰρ μόνον δεῖ γινώσκειν τὰ ἐξ ὧν σύγκειται τὸ ὀστοῦν, ἀλλὰ καὶ τὴν ἀναλογίαν, ἥτις ἐστὶν ἐν τοῖς ἐξ ὧν συντεθεῖται, καὶ τὸν τοῦ ὀστοῦ λόγον, διότι πάντα τὰ σύνθετα οὐ συνίσταται ὁπώσποτ' ἂν ἔχοι τὰ στοιχεῖα, ἀλλά τινι λόγῳ καὶ συνθέσει, ὥστε δηλονότι ἀναλόγως ἔχειν πρὸς ἄλληλα· τὸ γὰρ ὀστοῦν, ἐπεὶ ἔχει ὀκτὼ μέρη, καθά φησιν Ἐμπεδοκλῆς, ἕκαστον σύνθετον ὀκτὼ μέρη ἔχειν οὐκ ἐπίσης ἀποδίδοται πᾶσι τοῖς στοιχείοις, ἀλλ' ἡ γῆ ἔχει ἐκεῖ δύο μέρη, ὁ ἀὴρ ἕν, τὸ ὕδωρ ἕν' καὶ τὸ πῦρ, τέσσαρα. Καὶ διὰ τοῦτο ἐκ μείζονος μετοχῆς τοῦ πυρὸς λέγει τὰ ὀστᾶ γεγενῆσθαι λευκά, καὶ ἐκ τῆς γῆς ξηρά. Οὕτω τοίνυν ἐν τοῖς συνθέτοις πράγμασιν, οὐ μόνον εἰσὶν αὐτὰ τὰ στοιχεῖα, ἀλλ' ἡ ἀναλογία καὶ ὁ λόγος ἑκάστου. Ἐντεῦθεν οὕτως· ἢ αὗται αἱ ἀναλογίαι εἰσὶ μετὰ τῶν στοιχείων ἐν τῇ ψυχῇ, ἢ οὔ· εἰ τὸ πρῶτον, οὐκοῦν ἐν τῇ ψυχῇ εἰσὶν ὀστᾶ καὶ σάρκες καὶ τὰ τοιαῦτα, καὶ ἑπομένως ἄνθρωπος καὶ λίθος καὶ ἔτι τὰ ἐναντία, περὶ ὧν οὐδεὶς ἀμφιγνοεῖ, ὅτι ταῦτα οὐκ εἰσὶν ἐν τῇ ψυχῇ. Εἰ δὲ τὸ δεύτερον εἴποις, ὅτι δηλονότι αἱ τοιαῦται ἀναλογίαι καὶ οἱ λόγοι οὐκ εἰσὶν ἐκεῖ, ἀλλὰ μόνον τὰ στοιχεῖα, τότε ἡ ψυχὴ οὐ γινώσκοι ἂν τὰς ἀναλογίας τῶν πραγμάτων οὐδ' αὐτὰ τὰ σύνθετα. Πῶς τοίνυν δυνήσεται γινώσκειν τὸν Θεόν, δηλονότι ὅλον τὸν οὐρανόν, ἢ τὸν ἄνθρωπον, ἢ τὸν λίθον, ἢ τὸ ὀστοῦν; Οὐδένα πάντως τρόπον δυνήσεται, ἀλλὰ μόνον τὰ στοιχεῖα εἴσεται ἡ ψυχή.

Ἔ τ ι δ ὲ π ο λ λ α χ ῶ ς. Ἐνταῦθα τίθησι τὸν δεύτερον λόγον, τοιοῦτον ὄντα· σὺ λέγεις, ὅτι ἡ ψυχὴ σύγκειται ἐκ τῶν ἀρχῶν· ἀλλὰ τῶν διαφόρων γενῶν διάφοροι εἰσὶν αἱ ἀρχαί. Ἐπεὶ τοίνυν τὸ ὂν πολλαχῶς λέγεται, ἤγουν διάφορα γένη τοῦ ὄντος εἰσίν, οἷον οὐσία, ποσότης, ποιότης καὶ τὰ λοιπά, καὶ δεῖ τούτων διαφόρους εἶναι ἀρχάς, ζητῶ πότερον ἡ ψυχὴ σύνθετος ἐστὶ μόνον ἐκ τῶν ἀρχῶν τῆς οὐσίας, ἢ ἐκ τῶν ἀρχῶν πάντων τῶν γενῶν· εἰ μόνον ἐκ τῶν ἀρχῶν τῆς οὐσίας, τότε ἡ ψυχὴ οὐκ ἂν γινώσκοι εἰ μὴ τὰς οὐσίας, καὶ αὐτοὶ τιθέασιν αὐτὴν γινώσκειν πάντα· εἰ δὲ συντίθεται ἐκ τῶν ἀρχῶν πάντων, τότε, ἐπεὶ τὸ ἐκ τῶν ἀρχῶν τῆς
f. 287 οὐσίας ἐστὶν οὐσία, | καὶ τὸ ἐκ τῶν ἀρχῶν τῆς ποσότητος ἐστὶ ποσότης, καὶ περὶ τῶν ἄλλων δὲ ὁμοίως, ἡ ψυχὴ ἔσται οὐσία, ποσότης, ποιότης, πρός τι καὶ τὰ τοιαῦτα. Ἀλλ' ἐρεῖ τις ἴσως πρὸς τοῦτον τὸν λόγον, ὅτι αἱ ἀρχαὶ τῆς οὐσίας εἰσί, καὶ ποσότητος, καὶ ποιότητος, καὶ τῶν ἄλλων, ἐπεὶ πάντα θεμελιοῦνται ἐπὶ τῇ οὐσίᾳ, καὶ διὰ τοῦτο οὐκ ἔστι χρεία ἐν τῇ ψυχῇ εἶναι ἄλλο τι παρὰ τὴν οὐσίαν καὶ ὅμως γινώσκει πάντα. Πρὸς δὴ τοῦτο ῥητέον, ὅτι ἕκαστον τῶν ὄντων ἔχει ἀρχὰς προσεχεῖς καὶ πόρρω, καὶ τὴν γνῶσιν δεῖ εἶναι διὰ τῶν προσεχῶν ἀρχῶν. Αἱ δὲ τῆς οὐσίας ἀρχαί, εἰ

6 *καθά:* *ὡς* B    7 *ὀκτὼ:* *αὐτῷ* B    30 *τὸ* après *ἐπεὶ* om B

Ε.Υ.Δ της Β.Τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

καὶ τῶν ἄλλων ἀρχαί εἰσιν, εἰσὶ μέντοι γε πόρρω καὶ διῳκισμέναι, οὐ προσεχεῖς, καὶ διὰ τοῦτο δι' ἐκείνων οὐ δυνατὸν προσλαμβάνεσθαι γνῶσιν εἰ μὴ περὶ τῆς οὐσίας.

Ἄτοπον δὲ καὶ τό. Ἐνταῦθα τίθησιν τὸν τρίτον λόγον, τοιοῦτον ὄντα καὶ εἰς ἄτοπον ἀπάγοντα. Ὁ λόγος, φησί, τοῦ τὴν ψυχὴν συντεθεῖσθαι ἐκ πάντων τῶν στοιχείων ἐστὶ διότι ἡ ψυχὴ γινώσκει πάντα, καὶ ἡ γνῶσις ἐστὶ δι' ὁμοιότητος. Ἀλλὰ τοὐναντίον φάνερον, ὅτι τὸ αἰσθάνεσθαι καὶ γινώσκειν ἐστὶ πάσχειν τι· ἀλλ' ἄτοπον ἐστὶ λέγειν, ὅτι τὸ ὅμοιον πάσχει ὑπὸ τοῦ ὁμοίου, ἀλλ' ὑπὸ τοῦ ἐναντίου. Οὐκοῦν ἄτοπόν ἐστι καὶ τὸ λέγειν, ὅτι ἔστιν αἰσθάνεσθαι καὶ γινώσκειν τὸ ὅμοιον τῷ ὁμοίῳ.

Πολλὰς δὲ ἀπορίας καὶ δυσχερείας. Ἐνταῦθα τίθησι τὸν τέταρτον λόγον τοιοῦτον ὄντα· Ἐκ τοῦ ἀνωτέρω εἰρημένου μαρτυρεῖται, ὅτι τὸ ὑπὸ Ἐμπεδοκλέους εἰρημένον, τὸ τῷ ὁμοίῳ δηλονότι γινώσκεσθαι τὸ ὅμοιον, ἔχει πολλὰς ἀπορίας καὶ δυσχερείας. Ἀλλ' ἔτι μᾶλλον φαίνεται χαλεπὸν καὶ ἀνοικείως εἰρημένον. Εἰ γὰρ ἡ ψυχὴ γινώσκει τῷ ὁμοίῳ τὸ ὅμοιον, ὡς Ἐμπεδοκλῆς λέγει εἴπετο ἂν τὸ διὰ τοῦ στοιχείου τοῦ ἀέρος γινώσκειν τὰ ἀέρια, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Ἀλλ' ἡμεῖς ὁρῶμεν, ὅτι πολλὰ μέρη τῆς γῆς εἰσὶν ἐν τῷ ζῴῳ, ἅτινα οὐκ αἰσθάνονται, ὥσπερ αἱ τρίχες καὶ τὰ ὀστᾶ· ἠκολούθει δ' ἂν αἰσθάνεσθαι ταῦτα κατὰ τὴν θέσιν ἐκείνων. Οὐκ ἄρα γινώσκεται τῷ ὁμοίῳ τὸ ὅμοιον, ἢ οὐκ ἔστι σύνθετος ἐκ πάντων τῶν στοιχείων.

Ἔτι δέ. Ἐνταῦθα τίθησι τὸν πέμπτον λόγον, ὄντα τοιοῦτον· ἔτι ἐκ τῆς θέσεως τοῦ Ἐμπεδοκλέους, τῆς ὅτι τῷ ὁμοίῳ γινώσκεται τὸ ὅμοιον, ἀκολουθεῖ ἕτερον ἄτοπον, δηλονότι τὸ τὴν ἀρχὴν ἔχειν πλέον ἀγνοίας ἢ συνέσεως. Εἰ γὰρ ἡ γνῶσις ἐστὶ διὰ τοῦ ὁμοίου μόνον καὶ ἑκάστη ἀρχὴ ἐστὶν ἁπλῆ καὶ οὐκ ἔχει τινὸς ὁμοιότητα ἐν ἑαυτῇ εἰ μὴ τὴν ἰδίαν, οὐ γινώσκοι ἂν εἰ μὴ ἑαυτήν, καὶ ἀγνοήσει πολλὰ ἄλλα, δηλονότι πάντα τὰ παρ' αὐτήν.

Συμβαίνει δέ. Ἐνταῦθα τίθησι τὸν ἕκτον λόγον, ὄντα τοιοῦτον· ἔτι γὰρ ἐκ τῆς εἰρημένης θέσεως τῆς ὅτι τὸ ὅμοιον γινώσκεται τῷ ὁμοίῳ, συμβήσεταί τι ἄτοπον τῷ Ἐμπεδοκλεῖ, δηλονότι τὸ τὸν Θεὸν εἶναι ἀφρονέστατον πάντων τῶν ζῴων. Ἰστέον γὰρ ὅτι ὁ Ἐμπεδοκλῆς ἔθετο ταῦτα πάντα τὰ ὑποκάτω συντεθεῖσθαι ἐκ τῶν τεσσάρων στοιχείων, καὶ ἐκ τοῦ νείκους καὶ τῆς φιλίας, καὶ τὴν γένεσιν καὶ τὴν φθορὰν ἐν τοῖς πράγμασιν προϊέναι ἐκ τούτων τῶν δύο, δηλονότι τοῦ νείκους καὶ τῆς φιλίας· τὸν δὲ οὐρανὸν εἶπεν εἶναι Θεόν, καὶ εἶπεν αὐτὸν εἶναι σύνθετον ἐκ τῶν τεσσάρων στοιχείων καὶ τῆς φιλίας, ἀλλ' οὐ τοῦ νείκους· διὸ καὶ ἔστιν ἄφθαρτος. Εἰ τοίνυν τὸ ὅμοιον γινώσκεται τῷ ὁμοίῳ, ἐπεὶ ὁ Θεὸς οὐκ

3 *περὶ*: *διὰ* B  13 *εἰρημένον*: *ῥηθὲν* B  33 *κάτω* B



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἔστι σύνθετος ἐκ τοῦ νείκους, οὐ γνώσεται τὸ νεῖκος, καὶ οὕτως ἔσται ἁπλούστερος καὶ ἀφρονέστερος τῶν λοιπῶν ζῴων, ἅπερ γινώσκουσι τὸ νεῖκος διὰ τὸ ἐξ αὐτοῦ συντεθεῖσθαι.

Ὅλως τε. Ἐνταῦθα τίθησι τὸν ἕβδομον λόγον, ὄντα τοιοῦτον· εἰ ἡ ψυχὴ σύνθετός ἐστιν ἐκ πάντων τῶν στοιχείων, ἕπεται πάντα τὰ ὄντα ἔχειν ψυχήν· πᾶν γὰρ ὂν ἢ ἐκ πάντων ἐστὶ τῶν στοιχείων, ἢ ἔκ τινων· ἀλλὰ πᾶν σύνθετον ἐκ τῶν στοιχείων ἐστὶ σῶμα· πάντα ἄρα τὰ σώματα ἔχουσι ψυχήν, καὶ πάντα τὰ ὄντα, ὃ ψεῦδος ἐστίν,

Ἀπορήσειε δ' ἄν τις. Ἐνταῦθα τίθησι τὸν ὄγδοον λόγον τοιοῦτον ὄντα· τὰ στοιχεῖα εἰσὶ πλείω καὶ ἐναντία. Ὅπου δὲ ἐναντία τινὰ συνέρχονται καὶ συντίθενται, δεῖ εἶναί τι ἄλλο ἐκεῖ τὸ συνέχον καὶ ποιοῦν αὐτὰ ἕν. Εἰ τοίνυν ἡ ψυχὴ σύνθετός ἐστιν ἐκ πάντων τῶν στοιχείων, δεῖ εἶναί τι ἄλλο τὸ συνέξον αὐτά. Ἀλλὰ τοῦτο λίαν ἀπορεῖται, τί ἂν εἴη, διότι οὕτως ἂν εἴη τιμιώτερον καὶ πρότερον τῆς ψυχῆς, ὅπερ ἐστὶν ἀδύνατον τοὐλάχιστον περὶ τοῦ νοῦ, διότι εὐλογώτατόν ἐστι τὸν νοῦν εἶναι τιμιώτατον πάντων καὶ κύριον κατὰ φύσιν. Ἔτι ἠκολούθησεν ἂν αὐτὸ καὶ τῶν στοιχείων πρότερον εἶναι, ὃ ψεῦδος ἐστί, διότι Ἐμπεδοκλῆς καὶ οἱ ἄλλοι λέγουσι τὰ στοιχεῖα εἶναι πρότερα τῶν ἄλλων ὄντων ἁπάντων. Οὐκ ἄρα σύνθετος ἡ ψυχὴ ἐκ τῶν στοιχείων.

f. 287v Πάντες δὲ καὶ οἱ. Ἐνταῦθα τίθησι τὸν ἔννατον λόγον, καὶ δείκνυσι τὸ ἐνδεὲς καὶ ἀνίκανον τῆς θέσεως τοῦ Ἐμπεδοκλέους καὶ τῶν ἄλλων ἁπάντων, τῶν θεωρησάντων τὴν ψυχὴν ἐκ τῆς κινήσεως ἢ τῆς αἰσθήσεως· καὶ ἔστι τοιοῦτος. Φαίνεται νῦν, ὅτι πάντες οἱ εἰπόντες τὴν ψυχὴν εἶναί τι κινητικὸν κατὰ τόπον, ἐνδεῶς εἶπον περὶ ψυχῆς καὶ οὐχ ἱκανῶς. Πολλὰ γὰρ ἔμψυχα εἰσὶ μὴ κινούμενα κατὰ τόπον ἀλλὰ μένοντα, ὡς τὰ φυτὰ καὶ ἄλλα τοιαῦτα. Ὁμοίως καὶ οἱ εἰπόντες τὴν ψυχὴν εἶναι γνωριστικόν τι καὶ αἰσθητικόν, οὐχ ἱκανῶς εἶπον· πολλὰ γάρ εἰσιν ἔμψυχα, ἅπερ οὔτε αἰσθάνονται, οὔτε νοοῦσι. Εἰ δέ τις ταῦτα χωρίσειε, τὸ νοερὸν καὶ αἰσθητικὸν καὶ κινητικόν, καὶ εἴποι τὸ νοερὸν μέρος ἓν τῆς ψυχῆς, καὶ τὸ αἰσθητικὸν ὁμοίως, οὐδὲ οὕτως ἐρεῖ περὶ πάσης, ἐπεὶ οὐ πᾶσαι αἱ ψυχαί εἰσι νοεραί· οὐδὲ περὶ ὅλης, ἐπεὶ τὸ νοερὸν καὶ αἰσθητικὸν εἰσὶ μέρη τῆς ψυχῆς· οὐδὲ περὶ μιᾶς, διότι οὕτως οὐκ ἂν εἴποι πάσας τὰς ἰδιότητας ἡστινοσοῦν ψυχῆς, διότι ἐν τῇ ψυχῇ εἰσὶ καὶ ἄλλαι ἰδιότητες παρὰ τὸ νοεῖν καὶ αἰσθάνεσθαι. Καὶ διότι φιλόσοφός τις Ὀρφεὺς καλούμενος ἐλλιπῶς καὶ αὐτὸς περὶ τῆς ψυχῆς διειλέχθη καὶ ὥσπερ εἰς τὴν ὁμοίαν ἐνέπεσεν ἔλλειψιν, διὰ τοῦτ' ἐνταῦθα παρατίθεται καὶ τὸ ἐκείνου ὑστέρημα. Ἰστέον δὲ ὅτι ὁ Ὀρφεὺς οὗτος ἦν εἷς ἐκ τῶν πρώτων φιλοσόφων, οἵτινες γεγόνασιν ὡς ποιηταὶ θεολόγοι, μετρικῶς

---

2 ἅτινα B 3 νεῖκος: ζῷον B 4 τε: δὲ B

Ε.Υ.Δ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

εἰπόντες περὶ φιλοσοφίας καὶ περὶ Θεοῦ, καὶ γεγόνασι τρεῖς· Σάμος, Ὀρφεὺς καί τις ἄλλος. Καὶ οὗτος ὁ Ὀρφεὺς πρῶτος εἰσήγαγε τοὺς ἀνθρώπους πρὸς τὸ συνοικεῖν καὶ γέγονε ὡραιότατος δημηγόρος καὶ ἐκκλησιαστὴς οὕτως, ὥστε τοὺς θηριώδεις ἀνθρώπους καὶ μονώτας πρὸς πολιτικὸν ἦθος καὶ τρόπον εἰσαγαγεῖν, καὶ διὰ τοῦτο λέγεται περὶ αὐτοῦ, ὅτι ἦν οὕτως ἐμμελὴς κιθαρῳδός, ὥστε ποιεῖν ὀρχεῖσθαι τοὺς λίθους, τουτέστιν οὕτως ἦν ἡδὺς δημηγόρος, ὡς καὶ αὐτοὺς μαλάξαι τοὺς λιθίνους ἀνθρώπους. Μετὰ δὲ τοὺς τρεῖς τούτους γεγόνασιν οἱ ἑπτὰ σόφοι. Οὗτος τοίνυν ὁ Ὀρφεὺς ἠβούλετο τὸν ὅλον ἀέρα ἔμψυχον εἶναι ψυχῇ τινὶ καὶ τὴν ψυχὴν τῶν ζώντων σωμάτων μηδὲν ἄλλο τυγχάνειν εἰ μὴ ὅπερ ἐφέλκεται τὸ ζῷον ἐκ τοῦ ἐμψύχου ἀέρος διὰ τῆς ἀναπνοῆς· καὶ τοῦτο ἔλεγε μετρικῶς, καὶ διὰ τοῦτο φησὶν ὁ Φιλόσοφος, ὅτι ὁ τοῦ Ὀρφέως λόγος, ὅς ἐστιν ἐν τοῖς μετρικοῖς ἔπεσι περὶ ψυχῆς, τὸ αὐτὸ ὑφίσταται ἔλλειμμα, ὅπερ ἔπαθον καὶ οἱ τῶν προειρημένων λόγοι, διότι, ὡς εἴρηται, ὁ Ὀρφεὺς ἠβούλετο ἐκεῖνο εἶναι ψυχήν, ὅπερ ἕλκεται διὰ τὴν τῶν ζῴων ἀναπνοῆς. Ἀλλὰ τοῦτο οὐχ ἱκανῶς εἴρηται, διότι πολλὰ ζῷα εἰσίν, ἅπερ οὐκ ἀναπνεῖ· τοῦτο δέ, τὸ τινὰ δηλονότι ζῷα μὴ ἀναπνεῖν, ἔλαθεν ἐκείνους, οἵτινες τῆς προειρημένης ἐγένοντο δόξης· καὶ οὕτω φανερόν, ὅτι ἐγκαλοῦνται περιπεσεῖν ἐλλείψει καὶ ὑστερήματι καὶ τῷ μὴ ἱκανῶς εἰπεῖν.

Εἴπερ δὲ δεῖ. Ἐνταῦθα τίθησι τὸν δέκατον λόγον, ὄντα τοιοῦτον καὶ ἐλέγχοντα αὐτοὺς τοὐναντίον, ἐκ τοῦ περισσῶς καὶ περιέργως εἰπεῖν καὶ δοξάσαι. Λέγουσι γὰρ οὗτοι, ὅτι πρὸς τὸ τὴν ψυχὴν γινώσκειν, συγκεῖσθαι δεῖ ταύτην ἐκ τῶν στοιχείων. Ἀλλ' ἐπεὶ ἡμεῖς ὁρῶμεν, ὅτι παντὸς πράγματος γνῶσιν δυνατὸν λαμβάνεσθαι δι' ἐλαττόνων, εἰ καὶ συγχωρηθείη τὴν ψυχὴν συγκεῖσθαι ἐκ στοιχείων, οὐκ ἔδει τὴν ψυχὴν συγκεῖσθαι ἐκ τῶν στοιχείων ἁπάντων, ἀλλὰ τὸ πλεῖστον ἐκ δυοῖν. Καὶ ὅτι ἡ γνῶσις λαμβάνεται δι' ἐλαττόνων, δῆλον· διότι γὰρ τὸ σύνθετον σύγκειται ἔκ τινος τελείου καὶ ἀτελοῦς, ὁ λόγος τοῦ γινώσκειν τὸ ἀτελές ἐστι τὸ τέλειον αὐτόν· καὶ ἐπεὶ τὰ ἐναντία ἀνάγονται εἰς τὴν στέρησιν καὶ τὴν ἕξιν, ἱκανόν ἐστι θάτερον μέρος, ὅπερ δηλονότι ἔχει πρὸς τὸ λοιπὸν τὸν λόγον τοῦ τελείου καὶ τῆς ἕξεως, πρὸς τὸ γινώσκειν ἑαυτό τε καὶ τὸ λοιπὸν μέρος, ὅπερ ἐστὶ κατὰ τρόπον στερήσεως ἀτελοῦς· διὰ γὰρ τοῦ εὐθέος γινώσκομεν αὐτό τε τὸ εὐθὺ καὶ τὸ καμπύλον· κανὼν γάρ ἐστι τοῦτο δι' οὗ λαμβάνεται κρίσις περὶ ἑκατέρου. Διὰ δὲ τοῦ καμπύλου οὔτε αὐτὸ γινώσκομεν, οὔτε | τὸ εὐθύ. Οὐκ ἄρα ἀνάγκη ἦν τὴν ψυχὴν ποιεῖν, τουτέστι f. 268 συντιθέναι, ἐκ πάντων τῶν στοιχείων, ἀλλ' ἐκ δυοῖν μόνον, δηλονότι πυρὸς καὶ γῆς, καὶ διὰ τούτων γινώσκειν αὐτὴν δύνασθαι καὶ αὐτὰ καὶ τὰ ἐναντία, ὥσπερ διὰ τοῦ πυρὸς γινώσκοι ἂν τὰ θερμὰ καὶ ψυχρά, διὰ δὲ τῆς γῆς ξηρὰ καὶ ὑγρά.

## Leçon XIII.

Καὶ ἐν τῷ ὅλῳ δέ τινες. Θεὶς ὁ Φιλόσοφος τὰς δόξας τῶν θεμένων τὴν ψυχὴν εἶναι ἐκ στοιχείων καὶ τοὺς λόγους αὐτῶν, καὶ ἀποδοκιμάσας αὐτούς, ἐνταῦθα τίθησιν ἐκ τοῦ παρεμπίπτοντος δόξαν τινῶν λεγόντων τὴν ψυχὴν εἶναι ἐν τοῖς στοιχείοις, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον γὰρ τίθησι τὴν δόξαν· δεύτερον, τὸν λόγον τῆς δόξης ἐν τῷ· Ὑπολαβεῖν δέ. Καὶ περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον γὰρ τίθησι τὴν δόξαν· δεύτερον, ἀποδοκιμάζει αὐτὴν ἐν τῷ· Τοῦτο δὲ ἔχει. Φησὶ τοίνυν, ὅτι εἰσί τινες οἱ εἰπόντες τὴν ψυχὴν μεμίχθαι ἐν τῷ ὅλῳ ἤγουν ἐν τῷ παντί, τιθέντες αὐτὴν οὕτως ἐν τοῖς στοιχείοις ὥσπερ ἐν τοῖς στοιχειωτοῖς. Ὅθεν φιλόσοφός τις Θαλῆς, ἴσως ἐκ ταύτης κινηθεὶς τῆς δόξης, ἐδόξασε πάντα πλήρη θεῶν εἶναι· ἠβούλετο γὰρ τὸ πᾶν ἔμψυχον εἶναι καὶ τὴν τούτου ψυχὴν εἶναι θεόν. Ὅθεν, ὥσπερ ἡ ψυχή ἐστιν ἐν παντὶ μέρει τοῦ ζῴου καὶ ὅλη, οὕτως ἠβούλετο καὶ ἐν ἑκάστῳ μέρει τοῦ παντὸς εἶναι θεοὺς καὶ οὕτω πάντα εἶναι πλήρη θεῶν. Καὶ ἴσως ἐκ τούτου προῆλθεν ἡ εἰδωλολατρεία.

Τοῦτο δὲ ἔχει. Ἐνταῦθα ἑπομένως ἀποδοκιμάζει ταύτην τὴν δόξαν λέγων, ὅτι τοῦτο τὸ τὴν ψυχὴν δηλονότι εἶναι ἐν τοῖς στοιχείοις καὶ ἐν τοῖς στοιχειωτοῖς ἔχει τινὰς ἀπορίας καὶ ἀντιθέσεις, ὧν μία ἐστίν, ὅτι εἰ ἡ ψυχὴ ἐστὶν ἐν τῷ ἀέρι καὶ τῷ πυρί· ἐν τούτοις γὰρ τοῖς δυσὶν αὐτὴν ἔλεγον μάλιστα εἶναι· χαλεπόν ἐστι λέγειν δι' ἣν αἰτίαν ἡ ψυχὴ ἐν αὐτοῖς οὐ ποιεῖ ζῷον, τουτέστιν οὐκ εἰσὶ ταῦτα ζῷα, ἐπειδὴ ἐν τοῖς μικτοῖς ἡ ψυχὴ τὸ ζῷον, τουτέστι τὰ μικτὰ ἔμψυχα, εἰσὶ ζῷα, καὶ ταῦτα δέον ὂν ὑπολαμβάνειν, ὅτι αὕτη, δηλονότι ἡ ψυχή, ἔστι βελτίων ἐν τοῖς στοιχείοις τοῖς ἁπλοῖς ἢ ἐν τοῖς ἐκ τῶν στοιχείων. Καὶ ἄλλη ἀπορία ἐστίν, ὅτι ἐπιζητήσειεν ἄν τις, ἐκ τούτων δήπου κινηθείς, διὰ τί ἡ ψυχή, ἥτις κατ' αὐτοὺς ἐν τοῖς στοιχείοις ἐστί, βελτίων ὑπάρχει καὶ ἀθανατωτέρα τῆς ψυχῆς, τῆς οὔσης ἐν τοῖς στοιχειωτοῖς, ἐπεὶ αὕτη ἡ ἐν τοῖς στοιχειωτοῖς συνίστησι τὸ ζῷον τὸ γινῶσκον καὶ αἰσθανόμενον, ἐκείνη δὲ ἡ ἐν τοῖς στοιχείοις οὐ συνίστησιν. Ἐκ τούτων δὲ τῶν ἀποριῶν ὅπερ ἂν τεθείη, συμβαίνει ἄτοπον καὶ ἄλογον, διότι τὸ λέγειν, ὅτι τὸ πῦρ, ἢ ὁ ἀὴρ ἐστι ζῷον, ὡς πρῶτον ἠπορεῖτο, ἔστι μέγιστον ἄτοπον, καὶ πρὸς τὴν αἴσθησιν φαίνεται ψεῦδος, καὶ ἔστιν ἀνδρῶν οὐκ ἐχόντων λόγον· καὶ τὸ μὴ λέγειν αὐτά, ἐν οἷς ἐστιν ἡ ψυχή, εἶναι ζῷα λίαν ἐστὶν ἄτοπον· κατὰ τοῦτο γὰρ οὐδὲν διοίσει τὸ εἶναι ψυχὴν ἔν τινι ζῴῳ τοῦ μὴ εἶναι.

Ὑπολαβεῖν δ' ἐοίκασιν. Ἐνταῦθα ἑπομένως τίθησι τὸν λόγον τῆς προειρημένης δόξης, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον γὰρ τίθησι

---

24 ἔστι om B 27 ὑπάρχει: ἐστὶ B

Ε.Υ.Δ της Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

τὸν λόγον καὶ ἀποδοκιμάζει αὐτόν· δεύτερον, συμπεραίνει τί φανερὸν ἐστὶν ἐκ πάντων τῶν εἰρημένων, ἐν τῷ· Φανερὸν οὖν. Καὶ περὶ τὸ πρῶτον πάλιν δύο ποιεῖ· πρῶτον, τίθησι τὸν λόγον τῆς δόξης· δεύτερον, ἀποδοκιμάζει αὐτὸν ἐν τῷ· Εἰ δ' ὁ μὲν ἀήρ. Τίθησι τοίνυν πρῶτον τὸν τῆς δόξης λόγον λέγων, ὅτι ὁ λόγος δι' ὃν οἱ εἰρημένοι φιλόσοφοι δοξάσαι δοκοῦσι τὴν ψυχὴν εἶναι τοῦτο, τουτέστιν ἐν πᾶσι τοῖς στοιχείοις εἶναι, ὅτι αὐτοὶ ἠβούλοντο τὸ ὅλον καὶ τὰ μέρη ἐν τοῖς στοιχείοις, διὰ τὸ εἶναι ἁπλᾶ, εἶναι ὁμοειδῆ. Ὅθεν, ἐπεὶ ἔβλεπον καὶ ἐδόξαζον, ὅτι τὸ μέρος τοῦ περιέχοντος, τουτέστι τοῦ ἀέρος, τὸ ἐναπολαμβανόμενον ἐν τοῖς σώμασι τῶν ζῴων δι' ἀναπνοῆς γίνεται αἰτία τοῦ τὰ ζῷα ἔμψυχα εἶναι καὶ ψυχὴν εἶναι, ἀναγκαῖον ἦν αὐτοῖς λέγειν τὴν ψυχὴν εἶναι ὁμοειδῆ τοῖς μέρεσι, τουτέστιν ὅλον τὸ περιέχον εἶναι ἔμψυχον.

Εἰ δ' ὁ μὲν ἀὴρ διασπώμενος. Ἐνταῦθα ἀποδοκιμάζει τὸν εἰρημένον λόγον, λέγων ὅτι, εἰ ὁ ἀὴρ διακριθεὶς καὶ ἀποσπασθείς ἐστιν ὁμοειδὴς τῷ ὅλῳ ἀέρι, ἀκολουθήσειεν ἂν τὴν τοῦ ζῴου ψυχὴν ὁμοιομερῆ εἶναι τῇ ψυχῇ τοῦ ὅλου ἀέρος. Ἀλλὰ φανερόν ἐστιν, ὅτι ἡ ψυχὴ παντὸς ζῴου ἀνομοιομερὴς τῇ ψυχῇ τοῦ ἀέρος, διότι τὸ μὲν αὐτῆς, τουτέστιν ἡ ψυχὴ τοῦ ἀέρος, ὑπάρξει, τουτέστιν, ἔστιν ἀθάνατον κατ' αὐτοὺς ὡς ἀεὶ ζωοποιοῦν καὶ ζωοποιῆσον πάντα τὰ ζῶντα· τὸ δέ, τουτέστιν | ἡ ψυχὴ f. 288v
τοῦδε ἢ ἐκείνου τοῦ ζῴου, οὐχ ὑπάρξει, τουτέστιν ἔστι θνητὴ κατ' αὐτούς. Ἀνάγκη τοίνυν ἓν τῶν δύο ἀτόπων ἀκολουθεῖν· ἢ γὰρ ὁ ἀὴρ ἐστὶν ὁμοιομερής, ὅ τε ἔνδον καὶ ὁ ἔξω, καὶ ἡ ψυχὴ ἔτι, ὅπερ ἀποδεδοκίμασται· ἢ εἴπερ ἡ ψυχὴ ἀνομοιομερής ἐστιν, καὶ ὁ ἀήρ, ἡ ψυχὴ οὐκ ἔστιν ἐν παντὶ μέρει τοῦ παντός, τουτέστι τοῦ ὅλου ἀέρος, ὅπερ ἐστὶν ἐναντίον αὐτοῖς, ὅλον τὸν ἀέρα ἔμψυχον τιθεῖσιν.

Φανερὸν οὖν ἐκ τῶν. Ἐνταῦθα συμπεραίνει ἐκ πάντων τῶν εἰρημένων περὶ τῶν δοξῶν τῶν ἀρχαίων, ὅτι οὐδέτερον τῶν ἅπερ αὐτοὶ ἀπεδίδοσαν τῇ ψυχῇ, ἔστιν ἀληθὲς οὐδὲ καλῶς εἰρημένον καθ' ὃν εἰρήκεσαν τρόπον, δηλονότι, ὅτι οὔτε τὸ γινώσκειν ὑπάρχει τῇ ψυχῇ διὰ τὸ εἶναι αὐτὴν ἐκ τῶν στοιχείων, ὡς ἐκεῖνοι ἐτίθεντο, οὔτε ἔτι ἡ κίνησις καὶ τὸ κινεῖσθαι ἐνυπάρχει αὐτῇ διὰ τὸ συνεστάναι, κατ' αὐτούς, ἐκ τῶν εἰρημένων στοιχείων. Καὶ τοῦτο ἱκανῶς φαίνεται τῷ καθαρῶς ἐνορῶντι τοῖς ἤδη προειρημένοις.

## Leçon XIV.

Ἐπεὶ δὲ τὸ γινώσκειν. Τεθειμένων τῶν δοξῶν τῶν ἀρχαίων φιλοσόφων περὶ ψυχῆς καὶ ἀποδεδοκιμασμένων, ἐφεξῆς ὁ Φιλόσοφος κινεῖ τινὰς ἀπορίας καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον γὰρ κινεῖ αὐτὰς τὰς ἀπορίας· δεύτερον, λύει αὐτάς, ἐν τῷ· Λέγουσι δέ τινες.

Ἰστέον δὲ ὅτι αἱ ἐνέργειαι τῆς ψυχῆς, δηλονότι τὸ αἰσθάνεσθαι, τὸ

νοεῖν, τὸ ὀρέγεσθαι, τὸ κινεῖσθαι κατὰ τόπον καὶ αὔξειν δύνανται διχῶς λαμβάνεσθαι· ἢ γὰρ κατὰ τὸν τρόπον λαμβάνονται τοῦ ἐνεργεῖν, καὶ οὕτως εἰσὶ τρεῖς δυνάμεις τῆς ψυχῆς, καὶ ταύταις ἀποδίδονται αἱ τοιαῦται ἐνέργειαι, δηλονότι τῇ φυτικῇ, τῇ αἰσθητικῇ καὶ τῇ λογικῇ ἢ νοερᾷ, αἳ δὴ διαφέρουσιν. Ἡ γὰρ θρεπτικὴ ἢ φυτικὴ ποιεῖ μεσιτευόντων τινῶν ποιοτήτων, ποιητικῶν δηλονότι καὶ παθητικῶν, οἷον τοῦ θερμοῦ, τοῦ ὑγροῦ, τοῦ ψυχροῦ καὶ τῶν τοιούτων· ἡ δὲ αἰσθητικὴ ἢ ἡ αἴσθησις, εἰ καὶ μὴ δεῖται ποιοτήτων αἰσθητῶν πρὸς τὸ αἰσθάνεσθαι, δεῖται μέντοι ὀργάνου σωματικοῦ· ὁ δὲ νοῦς οὐδετέρου χρῄζει τούτων, διότι οὔτε τῶν ποιοτήτων δεῖται πρὸς τὸ νοεῖν, οὔτε δι' ὀργάνου τινὸς νοεῖ, ἀλλὰ τελειοῦται ἐν τῇ ἰδίᾳ ἐνεργείᾳ χωρὶς ὀργάνου τινός. Ἂν δὲ λάβωμεν τὰς τοιαύτας ἐνεργείας κατὰ τὰ γένη τῶν ἐνεργειῶν, οὕτως εἰσὶ πέντε τῆς ψυχῆς δυνάμεις, δηλονότι θρεπτικόν, αἰσθητικόν, κινητικὸν κατὰ τόπον, ὀρεκτικὸν καὶ νοερόν· ὧν ἐνέργειαι εἰσὶ τὸ αἰσθάνεσθαι, τὸ τρέφειν, τὸ κινεῖν, τὸ ὀρέγεσθαι καὶ τὸ νοεῖν. Καὶ διὰ τοῦτο, ἐπεὶ ὁ Φιλόσοφος περὶ τῆς ψυχῆς κατὰ τὴν αὐτῆς ὁλότητα κατὰ τὰς δόξας τῶν ἀρχαίων ἐπραγματεύσατο, ἃς καὶ ἀπεδοκίμασεν, ἐνταῦθα ζητεῖ περὶ τῶν μερῶν καὶ τῶν ἐνεργειῶν αὐτῶν τῶν μερῶν, καὶ κινεῖ δύο ζητήματα, ὧν τὸ πρῶτον τοιοῦτον ἐστί· πότερον αἱ ἐνέργειαι τῆς ψυχῆς, αἵ εἰσι τὸ γινώσκειν καὶ αἰσθάνεσθαι ὅσον πρὸς τὴν αἴσθησιν, καὶ τὸ δοξάζειν ὅσον πρὸς τὸν νοῦν, ἔτι τὸ ἐπιθυμεῖν ὅσον πρὸς τὸ ἐπιθυμητικόν, καὶ τὸ βουλεύσθαι ὅσον πρὸς τὸ λογικόν, καὶ ὅλως αἱ ὀρέξεις, ὅπερ ἐστὶν ἐπὶ πλέον, διότι συμπεραίνει μετὰ τούτων τῶν δύο καὶ τὸ θυμικὸν καὶ τὸ κινεῖσθαι κατὰ τόπον καὶ αὔξειν καὶ ἵστασθαι καὶ μειοῦσθαι ἁρμόζει ὅλῃ τῇ ψυχῇ, ὥστε δηλονότι ἕκαστον αὐτῶν εἶναι ἐν παντὶ μέρει τῆς ψυχῆς, τουτέστιν ὥστε κατὰ πᾶν μέρος τῆς ψυχῆς νοεῖν, αἰσθάνεσθαι καὶ κινεῖσθαι, ὀρέγεσθαί τε καὶ τρέφεσθαι· ἢ ἕκαστον αὐτῶν ἔχει ἕκαστον μέρος τῆς ψυχῆς διωρισμένον, ὥστε δηλονότι ἄλλῳ μὲν νοεῖν, ἄλλῳ δὲ αἰσθάνεσθαι, καὶ περὶ τῶν ἄλλων ὡσαύτως. Τὸ δεύτερον ζήτημα ἐστὶν ὅτι, δεδομένου πᾶσαν ἐνέργειαν τῆς ψυχῆς ἔχειν εἰδικὸν μέρος, αὖθις ζητεῖται πότερον τὸ ζῆν ἁρμόζει τινὶ τῶν μερῶν οὕτως, ὥστε εἶναι ἔν τινι ἑνί, ἢ πλείοσι μέρεσιν, ἢ ἐν πᾶσιν· καὶ εἰ μὴ ἐν τούτοις, εἰ ἄρα ἐστὶν ἔκ τινος ἄλλου.

Λέγουσι δέ τινες. Ἐνταῦθα ἀποκρίνεται πρὸς τὰς τεθείσας ζητήσεις, καὶ πρῶτον πρὸς τὴν πρώτην, δεύτερον, πρὸς τὴν δευτέραν ἐν τῷ .... Ἀποκρινόμενος δὲ τῇ πρώτῃ ζητήσει, πρῶτον τίθησι δόξαν τινῶν φιλοσόφων. Πρὸς τοῦτο, δεύτερον ἀποδοκιμάζει αὐτὴν ἐν τῷ· Τί οὐχ

---

21 ἔτι: *καὶ* B 28 *αἰσθάνεσθαι*: *τρέφεσθαι* B 35 blanc après *ἐν τῷ* A référence à Aristote omise

Ε.Υ. Ζώτης Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006